καταφεύξονται, πολλὰς ἱκετηρίας καὶ δεήσεις ποιούμενοι·
καὶ διδόντες οὐ μόνον τὴν ἡγεμονίαν, ἀλλὰ καὶ σφᾶς αὐτούς·
ὥστ' οὐκ ἀπορήσομεν, μεθ' ὧν κωλύσομεν τοὺς ἐξαμαρτά-
νοντας· ἀλλὰ πολλοὺς ἕξομεν τοὺς ἑτοίμως συναγωνιζομένους
ἡμῖν· ποία γὰρ ἢ πόλις, ἢ τίς ἀνθρώπων οὐκ ἐπιθυμήσει, μετασχεῖν
τῆς φιλίας καὶ τῆς συμμαχίας τῆς ἡμετέρας, ὅταν ὁρῶσι τοὺς
αὐτοὺς ἀμφότερα, καὶ δικαιοτάτους ὄντας, καὶ μεγίστην δύνα-
μιν κεκτημένους, καὶ τοὺς μὲν ἄλλους, σώζειν καὶ βουλομένους
καὶ δυναμένους, αὐτοὺς δὲ μηδεμιᾶς βοηθείας δεομένους; πό-
σην δὲ χρὴ προσδοκᾶν ἐπίδοσιν τὰ τῆς πόλεως λήψεσθαι· τῆς
τοιαύτης εὐνοίας παρὰ τῶν ἄλλων ὑπαρξάσης· πόσον δὲ
πλοῦτον εἰσρυήσεσθαι καὶ εἰς τὴν πόλιν, δι' ἡμῶν ἁπάσης
τῆς Ἑλλάδος σωζομένης· τίνας δ' οὐκ ἐπαινέσεσθαι τοὺς το-
σούτων καὶ τηλικούτων ἀγαθῶν αἰτίους γεγενημένους· ἀλλὰ
γὰρ οὐ δύναμαι διὰ τὴν ἡλικίαν, ἅπαντα τῷ λόγῳ περιλαβεῖν,
ἃ τυγχάνω τῇ διανοίᾳ καθορῶν· πλὴν ὅτι, καλόν ἐστιν ἐν ταῖς
τῶν ἄλλων ἀδικίαις καὶ μανίαις, πρώτους εὖ φρονήσαντας,
προστῆναι τῆς τῶν Ἑλλήνων ἐλευθερίας καὶ σωτηρίας· ἀλλὰ
μὴ λυμεῶνας αὐτῶν κληθῆναι, καὶ περιβλέπτους ἐπ' ἀρετῇ
γενομένους, τὴν δόξαν τὴν τῶν προγόνων ἀναλαβεῖν· κεφάλαι-
ον δὲ πάντων, ἓν ὃ ἔχω λέγειν, εἰς ὃ πάντα τὰ προειρη-
μένα συντείνει, καὶ πρὸς ὃ χρὴ βλέποντας, τὰς πράξεις τὰς
τῆς πόλεως δοκιμάζειν· δεῖ γὰρ ἡμᾶς εἴπερ βουλόμεθα διαλύ-
σασθαι μὲν τὰς διαβολὰς ἃς ἔχομεν ἐν τῷ παρόντι, παύσασθαι
δὲ τῶν πολέμων τῶν μάτην γιγνομένων, κτήσασθαι δὲ τὴν
ἡγεμονίαν, εἰς τὸν ἅπαντα χρόνον, μισῆσαι μὲν ἁπάσας τὰς
τυραννικὰς ἀρχὰς καὶ τὰς δυναστείας, ἀναλογιζομένους τὰς
συμφορὰς τὰς ἀπ' αὐτῶν γεγενημένας· ζηλῶσαι δὲ καὶ μι-



UNIVERSITÄTS-BIBLIOTHEK HEIDELBERG
BIBLIOTECA APOSTOLICA VATICANA
© Biblioteca Apostolica Vaticana
The Polonsky Foundation
https://digi.ub.uni-heidelberg.de/diglit/bav_pal_gr_187/0287